# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΜΟΔΕΣΤΟΥ

## ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

## ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΕΠΑΝΕΚΔΟΣΗ
ΙΕΡΟΥ ΝΑΟΥ ΓΕΝ. ΤΗΣ ΘΕΟΤΟΚΟΥ
ΣΤΑΓΕΙΡΩΝ ΧΑΛΚΙΔΙΚΗΣ

# ΠΡΟΛΕΓΟΜΕΝΑ

Ἡ Ἐνορία τῶν Σταγείρων ἔχει ἀφιερώσει ἰδιαίτερον Παρεκκλήσιον, ὄπισθεν τοῦ ἱεροῦ Ἐνοριακοῦ Ναοῦ τοῦ Γενεσίου τῆς Θεοτόκου, εἰς τιμὴν καὶ μνήμην τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μοδέστου, Ἀρχιεπισκόπου Ἱεροσολύμων τοῦ θαυματουργοῦ, καὶ ἑορτάζει λαμπρῶς τὴν ἁγίαν Μνήμην του, τῇ 18ῃ τοῦ Μηνὸς Δεκεμβρίου.

Εἰς τὴν περιοχήν τῆς Μητροπόλεώς μας εὑρίσκονται καὶ ἄλλα ἐξωκκλήσια, ἀφιερωμένα εἰς τὴν μνήμην τοῦ Ἁγίου Μοδέστου. Εἰς ὅλας τὰς Ἐνορίας τῆς Ἐπαρχίας ἑορτάζεται ἡ Μνήμη τοῦ Ἁγίου Μοδέστου τὴν 18ην Δεκεμβρίου, ὅπως ἑορτάζεται τὴν ἰδίαν ἡμέραν, εἰς ὅλην τὴν Μακεδονίαν. Ἐνῶ ἀντιθέτως εἰς τὴν Νότιον Ἑλλάδα, ἡ Μνήμη τοῦ Ἁγίου Μοδέστου ἑορτάζεται τὴν 16ην Δεκεμβρίου.

Ἐξ αὐτοῦ προκύπτει πιθανὸν ἡ σύγχυσις, ὅτι ὑπάρχουν δύο Ἀρχιεπίσκοποι Ἱεροσολύμων, Ἅγιοι τῆς Ἐκκλησίας, μὲ τὸ ὄνομα Μόδεστος. Οἱ Συναξαρισταὶ σιωποῦν διὰ τὸν δεύτερον Μόδεστον. Ἄλλοι σημειώνουν τὸν ἕνα, ὡς Πατριάρχην Ἱεροσολύμων μὲ τὴν χρονολογίαν 634, τῆς 16ης Δεκεμβρίου, καὶ τὸν δεύτερον, ὡς Ἀρχιεπίσκοπον Ἱεροσολύμων, μὲ τὴν χρονολογίαν 632-634, τῆς 18ης Δεκεμβρίου. Τὸ πλέον ἔγκυρον καὶ ἱστορικόν εἶναι, ὅτι ὁ Ἅγιος Μόδεστος εἶναι ἕνας, Πατριάρχης Ἱεροσολύμων, κοιμηθεὶς τὸ 634, ἀναστηλωτὴς τῶν Μνημείων καὶ ἱερῶν Προσκυνημάτων τῶν Ἁγίων Τόπων, μετὰ τὴν Περσικὴν ἐπιδρομὴν τοῦ 614.

Εἰς τὰ Μηναῖα, οὐδεμία Ἀκολουθία τοῦ Ἁγίου σημειώνεται, εἰ μὴ μόνον ἡ μνημόνευσις τοῦ ὀνόματος τοῦ Ἁγίου Μοδέστου τῇ 16ῃ Δεκεμβρίου. Σήμερον εὑρίσκονται ἐν χρήσει δύο πλήρεις Ἀκολουθίαι. Μία, συγγραφεῖσα ὑπὸ Μοναχοῦ Ἀγαπίου καὶ ἐκδοθεῖσα τὸ ἔτος 1926 ὑπὸ τοῦ Αἰδεσιμωτάτου π. Γεωργίου Βουτέρη, καὶ μία ἄλλη νεωτέρα, ποιηθεῖσα ὑπὸ τοῦ ἀειμνήστου Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου, Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας καὶ ἐκδοθεῖσα ὑπὸ Βασ. Ρηγοπούλου, ἄνευ χρονολογίας. Ἡ πρώτη σημει-

ώνει εἰς τὸ Συναξάριόν της: «Τῇ 18ῃ Δεκεμβρίου, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μοδέστου, Ἀρχιεπισκόπου Ἱεροσολύμων, τοῦ θαυματουργοῦ». Καὶ ἡ δευτέρα σημειώνει εἰς τὸ Συναξάριόν της: «Τῇ 16ῃ Δεκεμβρίου, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μοδέστου, Ἀρχιεπισκόπου Ἱεροσολύμων, τοῦ θαυματουργοῦ». Ἡ μνημόνευσις εἶναι ἡ αὐτή, διαφέρει ἡ ἡμερομηνία. Εἰς τὴν πρώτην καὶ εἰς τὸ τέλος τοῦ φυλλαδίου, καταγράφεται βιογραφικὸν Σημείωμα, κατὰ τὸ ὁποῖον ὁ Ἅγιος Μόδεστος μνημονεύεται ὡς Ἱερομάρτυς, ἀθλήσας κατὰ τὸ τέλος τοῦ 4ου αἰῶνος. Εἰς τὴν δευτέραν καταγράφεται σύντομον βιογραφικὸν Σημείωμα, τὸ ὁποῖον ἱστορεῖ τὸν ἕνα Ἀρχιεπίσκοπον Ἱεροσολύμων Ἅγιον Μόδεστον, Ἀναστηλωτὴν τῶν Ἱερῶν Προσκυνημάτων τῶν Ἁγίων Τόπων καὶ «Ἕτοιμον Προστάτην καὶ μέγαν καὶ ταχύτατον ἰατῆρα καὶ ἀρωγὸν τῶν ἀλόγων ζώων καὶ βοσκημάτων καὶ θρεμμάτων, τῇ τοῦ Κυρίου Χάριτι».

Κατὰ τὴν σύντομον βιογραφικὴν ἱστόρησιν, ὁ Ἅγιος Μόδεστος διέπρεψε κατὰ τὸν ἕβδομον αἰῶνα ὡς Ἡγούμενος τῆς Μεγάλης Ἱερᾶς Μονῆς τοῦ Ἁγίου Θεοδοσίου τοῦ Κοινοβιάρχου, οὐ μακρὰν τῶν Ἱεροσολύμων, ἀναδειχθεὶς τύπος τοῦ μονήρους βίου καὶ τῆς ἀσκητικῆς ἐν Χριστῷ φιλοσοφίας καί σκεῦος ἱερὸν πάσης ὁσίας ἀρετῆς, «λόγῳ τε καὶ ἔργῳ διαλάμπων».

Κατὰ τὸ ἔτος 614, τῇ τοῦ Θεοῦ παραχωρήσει, ἐγένετο ἡ ἐπιδρομὴ τῶν Περσῶν ὑπὸ τὸν Βασιλέα αὐτῶν Χοσρόην τὸν Β΄, ὁ ὁποῖος ἐσύλησε τὴν Ἁγίαν Πόλιν «πυρὶ κατακαύσας καὶ ὀλέθρῳ παραδώσας τὰ τῆς ἁγίας Πόλεως σεβάσματα καὶ τὰ σεπτὰ τῆς θεοβαδίστου Γῆς ἁγιάσματα». Ἠχμαλώτευσε, ὥς λάφυρα πολύτιμα καὶ τρόπαια, τὸν Πατριάρχην Ζαχαρίαν καὶ τὸν Τίμιον Σταυρόν τοῦ Κυρίου.

Μετὰ δέκα τέσσαρα ἔτη, ἤτοι τὸ 628 ὁ Αὐτοκράτωρ τοῦ Βυζαντίου Ἡράκλειος, κατετρόπωσε τοὺς Πέρσας, ἐπανέκτησε τὸν Τίμιον Σταυρὸν καὶ τὴν 14ην Σεπτεμβρίου «ἀνυπόδητος καὶ πενιχρὰ ἐνδεδυμένος» ἐπανέφερε τὸν Τίμιον Σταυρόν, εἰσῆλθεν ἐν λιτανείᾳ καὶ ἱερᾷ πομπῇ εἰς τὴν Ἁγίαν Πόλιν, μετὰ τοῦ Πατριάρχου Ζαχαρίου, καὶ ὕψωσε πανηγυρικῶς τὸν Τίμιον Σταυρὸν εἰς τὸν Ἱερὸν Ναὸν τῆς Ἀναστάσεως, τοῦ Κλήρου καὶ τοῦ Λαοῦ ψάλλοντος «Σῶσον, Κύριε, τὸν λαόν Σου καὶ εὐλόγησον τὴν κληρονομίαν Σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ Σὸν φυλάττων διὰ τοῦ Σταυροῦ Σου πολίτευμα».

Κατὰ τὴν αἰχμαλωσίαν τοῦ Πατριάρχου Ζαχαρίου εἰς τὴν Περσίαν, ὁ Ἅγιος Μόδεστος, ἀνέλαβεν, ὡς Ἡγούμενος τῆς Μεγάλης Μονῆς τοῦ Ἁγίου Θεοδοσίου τοῦ Κοινοβιάρχου, Τοποτηρητὴς τῆς Ἐκκλησίας τῶν Ἱεροσολύμων, καὶ μετὰ ζῆλου πολλοῦ καὶ φόβου Θεοῦ ἠργάσθη διὰ τὴν ἀναστήλωσιν τοῦ Πανιέρου Ναοῦ τῆς Ἀναστάσεως καὶ τῶν ἄλλων πυρποληθέντων Ἱερῶν Προσκυνήματων τῆς Ἁγίας Γῆς, ἐπανέφερε τὴν τάξιν, τὴν εὐπρέπειαν, τὴν εἰρήνην εἰς τὴν ζωὴν τῆς Σιωνίτιδος Ἐκκλησίας καὶ ἐπαρηγόρησε τὸν Λαὸν τοῦ Θεοῦ. Εἰς τὰ ἔργα τῆς ἀναστηλώσεως τῶν ἱερῶν Προσκυνημάτων ἐβοηθήθη τὰ μέγιστα ἀπὸ τὰς ἄλλας Ἐκκλησίας, μάλιστα δὲ ἀπὸ τὸν Ἅγιον Ἰωάννην τὸν Ἐλεήμονα Πατριάρχην Ἀλεξανδρείας.

Μετὰ τὴν ἐπάνοδόν του εἰς Ἱεροσόλυμα τὸ Ἔτος 628, ὁ Πατριάρχης Ζαχαρίας συνέχισε τὴν Ἁγίαν Ποιμαντορίαν του μέχρι τῆς κοιμήσεώς του τὸ ἔτος 632, ὅτε Κλῆρος καὶ Λαὸς ἐξέλεξεν ὡς Διάδοχον του τὸν Μέγαν Μόδεστον, ὁ ὁποῖος ἀνέλαβε πλέον ὡς Ἀρχιερεὺς καὶ Πατριάρχης Ἱεροσολύμων τὴν διαποίμανσιν τῆς Ἐκκλησίας τῶν Ἱεροσολύμων, συνέχισε τὸ ἔργον τοῦ προκατόχου του, καὶ ὁλοκλήρωσε τὰ ἔργα τῶν ἀναστηλώσεων, τὰ ὁποῖα μετὰ ζήλου πολλοῦ ἀνέπτυξε κατὰ τὰ ἔτη τῆς αἰχμαλωσίας τοῦ Πατριάρχου Ζαχαρίου καὶ τοῦ Τιμίου Σταυροῦ.

Ὁ Ἅγιος Μόδεστος Ἀρχιεπίσκοπος καὶ Πατριάρχης Ἱεροσολύμων, διαπρέψας ἐν ὁσιότητι βίου καὶ ἀρετῆς καὶ διακριθεὶς εἰς εὐσέβειαν καὶ ἱερὸν ζῆλον ὑπὲρ τῆς Ἐκκλησίας καὶ τοῦ Ποιμνίου, ἐκοιμήθη κατὰ Μῆνα Δεκέμβριον τοῦ Ἔτους 634, ἀπολαβὼν τῶν καμάτων τὰ πνευματικὰ ἔπαθλα ἐν Χριστῷ Ἰησοῦ.

Ὁ Ἅγιος Μόδεστος ἠξιώθη ἤδη ἐν τῇ ζωῇ, τῆς θαυματουργικῆς Χάριτος τοῦ Κυρίου, ἀναδειχθεὶς «προστάτης τῶν πιστῶν καὶ ἰατὴρ τῶν ἀλόγων ζώων», ἀπολαβὼν τῆς προσωνυμίας τοῦ θαυματουργοῦ.

Ὁ Ἅγιος Μόδεστος πιστεύεται ὡς προστάτης τῶν γεωργῶν καὶ τῶν ἀροτριώντων βοῶν, καὶ ἡ ἡμέρα τῆς Ἁγίας Ἑορτῆς του, τῆς 18ης Δεκεμβρίου, θεωρεῖται ἡ ἑορτὴ τῶν γεωργῶν καὶ τῶν βοῶν. Τελεῖται ἁγιασμὸς εἰς τοὺς Ναοὺς καὶ ραντίζονται τὰ ζῶα καὶ τὰ χωράφια. Αὐτὴ εἶναι ἡ πίστις τοῦ Λαοῦ μέσα εἰς τὴν μακραίωνα παράδοσιν τῆς Ἐκκλησίας.

Εἰς τὰ παλαιὰ Μηναῖα, εἰς τὸ Συναξάριον, τῇ 16ῃ Δεκεμβρίου μνημονεύεται ἡ «Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μοδέστου,

Ἀρχιεπισκόπου Ἱεροσολύμων» καὶ ἀναγράφεται εὐθὺς ἀμέσως σύντομον βιογραφικὸν Σημείωμα, τὸ ὁποῖον διαφέρει τοῦ ὡς ἄνω σημειωθέντος. Κατὰ τὸν Συναξαριστὴν τοῦ παλαιοῦ Μηναίου, ἐκδόσεως Βενετίας 1880, ὁ Ἅγιος Μόδεστος κατήγετο ἐκ τῆς πόλεως Σεβαστίας, καὶ ἦτο γόνος εὐσεβῶν χριστιανῶν γονέων, τοῦ Εὐσεβίου καὶ τῆς Θεοδούλης, οἱ ὁποῖοι ἦσαν ἄτεκνοι καὶ προσηύχοντο εἰς τὸν Θεὸν νὰ τοὺς χαρίση ἕνα τέκνον. Ἔτσι ὁ Μόδεστος ὑπῆρξε καρπὸς τῆς προσευχῆς τῶν εὐσεβῶν χριστιανῶν γονέων του. Οἱ εὐσεβεῖς αὐτοὶ γονεῖς, ἀνεδείχθησαν ἐν συνεχείᾳ Μάρτυρες Χριστοῦ, μαρτυρήσαντες κατὰ τοὺς διωγμοὺς τοῦ Μαξιμιανοῦ ἐναντίον τῶν χριστιανῶν, ἐγκαταλείψαντες τὸν μικρὸν Μόδεστον εἰς ἡλικίαν πέντε μηνῶν.

Ὁ μικρὸς Μόδεστος μετὰ ταῦτα ὑπέστη πολλὰς περιπετείας, ἐναλλάσων συνεχῶς κυρίους καὶ προστάτας, μεταξὺ εἰδωλολατρῶν καὶ χριστιανῶν. Καὶ ὅτε ἔμαθε τὴν καταγωγήν του καὶ τὸ μαρτύριον τῶν χριστιανῶν γονέων του, ἐβαπτίσθη καὶ ἀφοσιώθηκε ἐξ ὁλοκλήρου εἰς τὸν μονήρη καὶ ἀσκητικὸν βίον, εἰς τὸν ὁποῖον διέπρεψεν ἐν ὁσιότητι βίου καὶ ἀρετῆς, ἀξιωθεὶς καὶ θαυματουργικῆς ἐνεργείας ὑπὸ τῆς Χάριτος τοῦ Κυρίου.

Εἰς τὰ ὕψη τῆς ἀρετῆς καὶ τῆς ἀσκητικῆς διαπρέψας, ἀνῆλθεν εἰς τὸ Ὄρος Σινᾶ καὶ ἐμόνασεν εἰς τὴν Ἱερὰν Μονὴν τοῦ Θεοβαδίστου Ὄρους. Ὅτε καὶ ἀπὸ ἐκεῖ ἐξελέγη ὑπὸ τῆς Ἐκκλησίας καὶ χειροτονεῖται Ἀρχιερεὺς εἰς τὸν θρόνον τῶν Ἱεροσολύμων εἰς ἡλικίαν 59 ἐτῶν. Ὡς Ἀρχιερεὺς ἀνεδείχθη Μέγας Ποιμὴν καὶ Ζηλωτὴς τοῦ Ποιμνίου του, ἐκδαπανήσας τὸν βίον του εἰς τὴν ἄσκησιν καὶ εἰς τὴν διαποίμανσιν τοῦ Λογικοῦ Ποιμνίου τῆς Ἐκκλησίας, ἐπεμβαίνων μὲ πολλὰς θαυματουργίας εἰς τὴν πνευματικὴν ἄνοδον τῶν χριστιανῶν του. Μεταξὺ τῶν πολλῶν θαυμάτων του, ἀναφέρονται καὶ πολλὰ θαύματα εἰς θεραπείαν ζώων, ἐξ οὗ καὶ ὁμολογεῖται ὡς Προστάτης τῶν γεωργῶν καὶ τῶν ζώων. Διεποίμανε τὴν Ἐκκλησίαν Ἱεροσολύμων ἐπὶ 38 ἔτη καὶ ἐκοιμήθη ὁσίως εἰς ἡλικίαν 97 ἐτῶν, κατὰ τὸ τέλος τοῦ 4ου αἰῶνος.

Ἐκ τῶν δύο βιογραφιῶν τοῦ Ἁγίου Μοδέστου, δικαιολογεῖται ἡ ἐπικρατοῦσα σύγχυσις, ἐὰν καὶ κατὰ πόσον πρόκειται περὶ δύο προσώπων ἢ ἑνός, ἂν καὶ ἡ σύγχυσις αὐτὴ πιθανὸν νὰ προέρχεται ἀπὸ τὰς διαφόρους ἀντιγραφὰς κατὰ καιροὺς τῶν ἁγιολόγων συγγραφέων.

Εἰς τὸ τέλος τῆς Ἱερᾶς Ἀκολουθίας παρατίθεται ὁ Βίος τοῦ Ἁγί-

ου, ὅπως καταγράφεται εἰς τὴν ὑπὸ ἔκδοσιν Ἀκολουθίαν τοῦ Μοναχοῦ Ἀγαπίου, ὅπου ὁ Ἅγιος Μόδεστος μνημονεύεται ὡς ἱερομάρτυς ἀθλήσας τὸ τέλος τοῦ 4ου αἰῶνος.

Ἡμεῖς παραμένομεν εἰς τὴν Ἑορτὴν τοῦ Ἁγίου Μοδέστου, τὴν σημειουμένην τὴν 18ην Δεκεμβρίου, ἡ ὁποία καὶ ἑορτάζεται εἰς ὅλην τὴν Μακεδονίαν.

Πρὸς τούτοις, τῇ εὐγενῇ προτάσει τοῦ εὐλαβεστάτου Ἱερέως καὶ Ἐφημερίου τῆς Ἐνορίας τῶν Σταγείρων Οἰκονόμου π. Ἀστερίου Τουπλικιώτου, παρέχομεν τὴν Ἀρχιερατικὴν ἡμῶν εὐλογίαν καὶ εὐχήν, ὅπως ἡ Ἐνορία, ἐν τῇ ἐφημεριακῇ εὐθύνῃ καὶ φροντίδι τοῦ Ἱερέως της, ἀναλάβῃ τὴν ἐπανέκδοσιν τῆς Ἱερᾶς Ἀκολουθίας τοῦ Ἁγίου Μοδέστου, Ἀρχιεπισκόπου Ἱεροσολύμων, τοῦ Θαυματουργοῦ, τὴν συγγραφεῖσαν ὑπὸ Μοναχοῦ Ἀγαπίου, εἰς τὴν ὁποίαν καταγράφεται ἡ Ἑορτὴ τοῦ Ἁγίου Μοδέστου τὴν 18ην Δεκεμβρίου, καὶ ἡ ὁποία ἐξαντληθεῖσα, εἶναι σήμερον δυσεύρητος.

Τὴν ἔκδοσιν τῆς Ἱερᾶς Ἀκολουθίας τοῦ Ἁγίου Μοδέστου, ἡ Ἐνορία τῶν Σταγείρων προσφέρει, εἰς τιμὴν καὶ μνήμην τοῦ Ἁγίου, εἰς ὅλην τὴν Ἐπαρχίαν, πρὸς χρῆσιν καὶ εὐλάβειαν τῶν Κληρικῶν, τῶν Ψαλτῶν καὶ τῶν εὐσεβῶν Χριστιανῶν, διὰ τοὺς ὁποίους καὶ γράφονται τὰ Προλεγόμενα, εἰς ἐνημέρωσιν καὶ εὐλογίαν.

Ἐπὶ δὲ τούτοις, συγχαίρομεν ἀπὸ καρδίας τὸν εὐλαβέστατον Ἐφημέριον τῆς Ἐνορίας μας τῶν Σταγείρων Αἰδ. Οἰκ. π. Ἀστέριον Τουπλικιώτην, διὰ τὴν εὐλογημένην πρωτοβουλίαν του καὶ τὴν εὐγενῆ μέριμναν καὶ φροντίδα του, ἐν τῇ ὑπευθύνῳ ἐνασκήσει τῶν ἐφημεριακῶν του καθηκόντων καὶ τῆς διακονίας του, νὰ ἀναλάβῃ τὴν ἐπανέκδοσιν τῆς ἱερᾶς Ὑμνολογίας, διὰ τὴν Ἑορτὴν τοῦ Ἁγίου, καὶ εὐχόμεθα καὶ ἐπικαλούμεθα ἐπὶ τοῦ ἱεροῦ Κλήρου καὶ τοῦ εὐσεβοῦς Λαοῦ τῆς Ἐπαρχίας μας καὶ ἐπὶ πάντας πλουσίαν τὴν εὐλογίαν τοῦ Κυρίου καὶ τὴν προστασίαν τῆς Παναγίας καὶ τὰς εὐχὰς καὶ πρεσβείας τοῦ Ἁγίου Μοδέστου.

Ἔγγραφον ἐν τῷ Ἐπισκοπείῳ, τῇ 3ῃ Νοεμβρίου τοῦ Σωτηρίου Ἔτους 2000.

Εὐχέτης πρὸς Κύριον
Ο ΜΗΤΡΟΠΟΛΙΤΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

# ΤΟΥ

# ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΜΟΔΕΣΤΟΥ

# ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

# ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

Συγγραφεῖσα μὲν παρ' ΑΓΑΠΙΟΥ Μοναχοῦ
Ἤδη δὲ ἐκδοθεῖσα ὑπὸ τοῦ ἐλαχίστου πνευματικοῦ Πατρὸς
Αἰδεσιμωτάτου ΓΕΩΡΓΙΟΥ Α. ΒΟΥΤΕΡΗ
Ἱερέως καὶ ἐφημερίου τοῦ Ναοῦ Ὁσίου Μελετίου
Πρὸς χρῆσιν καὶ εὐλάβειαν τῶν εὐσεβῶν Χριστιανῶν

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Τὸ **μακάριος ἀνήρ.** Εἰς τὸ **Κύριε ἐκέκραξα** ἱστῶμεν στίχους ϛ΄. Καὶ ψάλλομεν προσόμοια.

**Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.**

Ὢ τοῦ παραδόξου θαύματος, ὁ ποιμὴν τῆς Σιών, Μόδεστος ὁ πάνσοφος, καθεῖλε νεανικῶς, ὄφιν τὸν δόλιον, ἐν τῷ σταδίῳ λαμπρῶς, Χριστὸν κηρύξας Θεὸν ὑπερτέλειον, παντοίας ὑπὲρ αὐτοῦ, ὑπενεγκὼν κακουχίας καὶ μάστιγας, καὶ τελειωθεὶς ἐνθέως, δόξης κατηξίωται, τῆς ἀρρήτου καὶ θείας Ἱεράρχης ὡς θεόληπτος.

Ὢ τοῦ παραδόξου θαύματος, ἐν Σιὼν ὁ ποιμήν, Μόδεστος ὁ ἔνδοξος, τυράννων τὰς ἀπειλὰς καὶ πᾶσαν μάστιγα, ἡγήσατο ὡς οὐδέν, ὑπὲρ ἀγάπης Χριστοῦ ὁ πανεύφημος, ἀθλήσας καρτερικῶς, τοὺς δυσμενεῖς ἀνδρικῶς κατεπάλαισε, καὶ εἰς οὐρανοὺς ἐν δόξῃ, μαρτυρίου πτέρυξιν, ἀναπτὰς ὑπὲρ πάντων ἱκετεύει τὸν φιλάνθρωπον.

Τὴν σὴν πανένδοξον ἄθλησιν, γηγενῶν τὰ στίφη, σεπτῶς μακαρίζουσιν, ὑψοῦντες πανευσεβῶς, Χριστὸν τὸν Κύριον, τὸν κόσμῳ σὲ θαυμαστόν, καὶ θεηγόρον λαμπρὸν ἀναδείξαντα, καὶ πρόεδρον ἐν Σιών, Ἱερομάρτυς παμμάκαρ ὦ Μόδεστε, διὸ πόθῳ σου τελοῦντας, τὴν σεπτὴν πανήγυριν, ἀπημάντους συντήρει, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

**Πανεύφημοι μάρτυρες ὑμᾶς.** Ἕτερα προσόμοια
Ἦχος ὁ αὐτός.

Τὸ πνεῦμα τὸ ἅγιον ἐν σοί, Μόδεστε ἐνῴκησε, θαυματουργόν σε δειξάμενον, καὶ γὰρ ἐπῆλθέ σοι θαυμάτων πλοῦτος καὶ εἰς τὰ βοσκήματα, τὴν χάριν ἀπεδίδως ἐν θαύμασι, Χριστὸν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Μοδέστου τὴν μνήμην οἱ πιστοί, τοῦ Ἱερομάρτυρος, Πατριαρχῶν ὑπεραίροντος, ὑμνήσωμεν σεπτῶς, ἐπαξίως πάντες, ἐπ' αὐτὸν προστρέχοντες, τὴν χάριν ἐξ αὐτοῦ ἀρυόμενοι, Χριστῷ πρεσβύει γάρ, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Πανήγυριν ἄγομεν φαιδράν, τοῦ Ἱερομάρτυρος, ὃν ὁ Θεὸς καὶ ἐδόξασεν, ἐδόθη γὰρ αὐτῷ τῶν θαυμάτων χάρις, ἰατρεύειν ἄμισθα, τὰ κτήνη ἐκ παντοίου νοσήματος, αὐτῷ προσδράμωμεν, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

**Δόξα.** Ἦχος β'.

Τὸν ἐν θαύμασι περιβόητον, καὶ Χριστοῦ ἀθλητὴν ἐννομώτατον, τὸν τὰς πύλας τοῦ ναοῦ διὰ προσευχῆς ἀνεῳγότα, δι' οὗ τὸ Πατριαρχεύειν κληρωσάμενον, καὶ θεόθεν τὴν χάριν τοῦ ἰᾶσθαι τὰ βοσκήματα ἀνθρώπων ἕνεκα διαδεξάμενον. Τὸν ὑπὸ τυράννου δυσεβοῦς, καὶ στρατιωτῶν Ἰουδαϊζόντων παντοίως ὑπὲρ εὐσεβείας αἰκισθέντα. Δεῦτε τῶν εὐσεβοφρόνων τὸ σύστημα κατὰ χρέος εὐφημήσωμεν λέγοντες, Χαίροις Ἱερομαρτύρων, καὶ Πατριαρχῶν ἀγαλλίαμα Μόδεστε. Χαίροις ὅτι διὰ τῶν παρόντων καμάτων, καὶ ἀπείρων βασανιστηρίων, ὧν ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καθυπέμεινας, νῦν ἐν οὐρανοῖς μετ' ἀγγέλων, καὶ πάντων τῶν ἁγίων, εἰλικρινῶς ἐποπτεύεις τὴν ἁγίαν Τριάδα ἀγαλλόμενος. Ὑπὲρ ἡμῶν οὖν μὴ παύσεις τῶν σὲ εὐθυμούντων πρεσβείαν πρὸς Κύριον ἐκτενῶς ποιεῖσθαι τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν.** Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Ἰδοὺ καιρὸς ἤγγικε τῆς σωτηρίας ἡμῶν, εὐτρεπίζου σπήλαιον. Ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν. Βηθλεὲμ γῆ Ἰούδα, τέρπου καὶ ἀγάλλου, ὅτι ἐκ σοῦ ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, ἀκούσατε ὄρη καὶ βουνοί, καὶ τὰ περίχωρα τῆς Ἰουδαίας, ὅτι ἔρχεται Χριστός, ἵνα σώσῃ, ὃν ἔπλασεν ἄνθρωπον, ὡς φιλάνθρωπος.

Εἴσοδος· **Φῶς ἱλαρόν,** τὸ προκείμενον, καὶ τὰ ἀναγνώσματα.

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.**
(Σοφ. Σολ. δʹ 7)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν ἐν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας, οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.**
(Σοφ. Σολ. γʹ 1)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα. Οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χονευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς

αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ'αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτόν. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.**

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται Ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς Μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι Μάρτυρες καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὅν ἐξελεγξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἰδιόμελα. Ἦχος α'.

Ἱερομάρτυς Μόδεστε ἔνδοξε, τῆς ἀγάπης τοῦ Χριστοῦ οὐ πῦρ, οὐ μάστιγες, οὐδὲ ξίφος σε χωρίσαι ἴσχυσαν· ἀλλ' ἐν μέσῳ τοῦ σταδίου τοὺς τὰ τῶν εἰδώλων φρονοῦντας ἀνδρείως κατέβαλες. Ἐκτενῶς οὖν πρεσβεύων μὴ παύσῃ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀγγελικὸν βίον ἐν γῇ ἐπιδειξάμενος Ἱερομάρτυς Μόδεστε ψήφῳ Θεοῦ τὴν ποιμαντικὴν ῥάβδον ἐνεχειρίσθης, καὶ ἐν καθέδρᾳ ἀρχιερέων καθίσας, τὸν Κύριον τοῖς ἐνθέοις ἔργοις σου ἐδόξασας, διόπερ καταντήσας εἰς μάνδραν οὐράνιον, ἔνθα ὁ

πρῶτος ποιμὴν καὶ μέγας ἀρχιερεύς, ἀπαύστως τὴν ὑμνῳδίαν αὐτῷ ἀναπέμπτων, εἰρήνην τε καὶ κινδύνων ἀπαλλαγὴν τοῖς ὑμνηταῖς σου βραβεύσεις ταῖς πρεσβείαις σου.

Ἦχος πλ. β'.

Τῷ ἱστίῳ τοῦ ἁγίου Πνεύματος, Ἱερομάρτυς Μόδεστε, ἡ ψυχή σου πτερωθεῖσα τῶν αἰκισμῶν διέπλευσεν ἀβρόχως τὸ χαλεπὸν κλυδώνιον, καὶ περιχαρῶς κατέλαβε λιμένας τοὺς ἐπουρανίους· ὅθεν παριστάμενος τῷ θρόνῳ τῷ δεσποτικῷ πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἐκ πόθου τελούντων τὴν ἀεισέβαστον μνήμην σου, τῶν σωματικῶν ἀλγηδόνων ῥυσθῆναι, καὶ τυχεῖν τῆς ἄνω δόξης εὐπροσδέκτοις πρεσβείαις σου.

Ἦχος α'.

Τὴν τῶν βασάνων σου πληθύν, ὡς γυμνάσιον συγκροτήσας ἐπὶ τῆς γῆς, θαυμάσιε Μόδεστε, τοῖς μετὰ ταῦτα φέρειν ἀριδήλως παρέδωκας, καὶ τῶν νοσημάτων τὰς προσβολὰς ἐν τῇ καρτερίᾳ τῶν προσευχῶν σου πάσας τῶν ζώων ἀπελάσας ἀπήμβλυνας· ἄνοδος γὰρ θεία καὶ λαμπρὰ πρὸς οὐρανὸν τοὺς βουλομένους ἀνάγουσα, πᾶσιν ἀναφανδὸν τοῖς ἐχέφροσιν ἐγνωρίσθη ὁ θεάρεστος βίος σου, τέρψιν ἡμῖν ὅσην παρεχόμενος· ἀλλ' ὦ τῶν Ἱερομαρτύρων, ἀποστόλων, καὶ προφητῶν ὁμόσκηνε, καὶ τῶν ἀγγέλων συνόμιλε, διὰ παντὸς τῶν κινδύνων μὴ παύσῃς καὶ ἐχθρῶν ὁρωμένων, καὶ ἀοράτων ἐλευθέρους τῆς ἐπηρείας, ταῖς πρὸς Θεὸν πρεσβείαις σου ἡμᾶς ἀπεργάσασθαι.

Δόξα. Ἦχος α'.

Τῆς τρισηλίου θεότητος, τῆς μιᾶς ὑποστάσεως τοῦ Θεοῦ λόγου, ἀρρήτως, καὶ ἀπαθῶς ἐκ τῆς πανάγνου θεομήτορος σάρκα καθ' ὑπόστασιν ἐμψυχωμένην ἀνειληφείας, μέλλοντες ἑορτάζειν τὴν καθ' ἡμᾶς ἔνσαρκον οἰκονομίαν αὐτῆς, καὶ ἄρρητον γέννησιν, δι' ἧς τὸ ἀνθρώπινον σωτηρίας ἐπέτυχε, δεῦτε καὶ τὸν ὑπὲρ Χρι-

στοῦ τοῦ Θεοῦ ἡμῶν ἐναθλήσαντα Ἱεράρχην Μόδεστον ἐπαξίως ἐν ᾠδαῖς τιμήσωμεν ἱκετεύοντες, ἵνα πρεσβεύῃ τῶν παρόντων ἡμᾶς ῥυσθῆναι, καὶ μελλόντων δεινῶν, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν.** Θεοτοκίον ὁ αὐτός.

Νεφέλην σε φωτὸς ἀϊδίου Παρθένε ὁ προφήτης ὠνόμασεν· ἐκ σοῦ γὰρ ὡς ὑετὸς ἐπὶ πόκον καταβὰς ὁ Λόγος τοῦ Πατρός, καὶ ἐκ σοῦ ἀνατείλας τὸν κόσμον ἐφώτισε, τὴν πλάνην κατήργησε, Χριστὸς ὁ Θεὸς ἡμῶν, ἱκετεύουσα ἐκτενῶς Παναγία δεόμεθα, μὴ παύσῃ ὑπὲρ ἡμῶν, ἀληθῆ Θεοτόκον ὁμολογούντων σε.

Εἰς τὸν στιχ. στιχηρὰ προσόμοια.
Ἦχος β'. **Ὅτε ἐκ τοῦ ξύλου σὲ νεκρόν.**

Σκεῦος ἐκλογῆς σὲ προϊδὼν Μάκαρ ὁ ἐτάζων καρδίας, καὶ βλέπων κρύφια, ἄξιον καθέστηκε ποιμένα θείας Σιών, ἣν πανσόφως κατήρδευσας, διδάγμασι θείοις, καὶ καρπὸν σωτήριον αὐτῶν ἐξήνεγκας. Μόδεστε τῆς πίστεως ὄντως, καὶ τῷ αἵματί σου, προθύμως τέλος ἀπεσφράγισας θεόσοφε.

Στίχ. **Δίκαιος ὡς φοῖνιξ.**

Δεῦτε Ἱερέων ἡ πληθύς, καὶ ἀρχιερέων οἱ δῆμοι, πατριαρχῶν ἡ κρηπίς, ᾄσμασι τιμήσωμεν τὸν Ἱεράρχην Χριστοῦ, τὸν τὴν πλάνην πατήσαντα, καὶ νίκην λαβόντα, στέφανον ἀκήρατον παρὰ Χριστοῦ τοῦ Θεοῦ, οὗπερ παρεστὼς νῦν τῷ θρόνῳ, νέμει δαψιλῶς τὰς ἰάσεις πᾶσι, καὶ πταισμάτων ἀπολύτρωσιν.

Στίχ. **Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται.**

Οἶκον ἀπετέλεσας σαυτόν, Πνεύματος ἁγίου τρισμάκαρ, καθάρας σου τὴν ψυχήν, καὶ τῷ θείῳ χρίσματι ἀρχιερεὺς γεγονώς, ποδηγέτης τε ἔνδοξε, λαοῦ καὶ προστάτης, τοῖς ἐπιτελοῦσι σου τὴν θείαν ἄθλησιν, αἴτησαι παμμάκαρ δοθῆναι, λύσιν τῶν δεινῶν σαῖς πρεσβείαις, καὶ ἁμαρτημάτων τήν συγχώρησιν.

**Δόξα.** Ἦχος πλ. δ'.

Τὸν τὴν ἑνότητα τῆς ἐπὶ Θεοῦ φύσεως εἰς τρεῖς καθαρῶς, καὶ ὀρθοδόξως ἀνακηρύξαντα διόλου ὑποστάσεις, καὶ αὖθις μιᾷ τὴν Τριάδα οὐσίαν ὁλοσχερῶς καὶ εἰλικρινῶς δογματίσαντα μίαν θεότητα, Πατρός, καὶ ἁγίου Πνεύματος, τυράννου ἐνώπιον διαῤῥήδην ἀποφῃνάμενον, τὸν ἐν Ἱεροσολύμοις θεόθεν πατριαρχεύσαντα. Μόδεστον τὸν πανάριστον, καὶ τὸν τοῦ μαρτυρίου στέφανον Ἱερῶς ἀναδησάμενον, δεῦτε συμφώνως, ὦ φιλέορτοι ἀσματικῶς εὐφημήσωμεν λέγοντες, Χαίροις τῶν ἀρχιερομαρτύρων τὸ ἀγλάϊσμα. Χαίροις ὁ τῷ θρόνῳ τῆς ἁγίας Τριάδος μετ' ἀγγέλων παριστάμενος, καί τῷ φωτὶ τῆς θείας δόξης ἐπαυγαζόμενος· ὅθεν καὶ ἡμᾶς τῆς μακαρίας ταύτης ἐλλάμψεως σοὺς ἱκέτας τυγχάνοντας ἀξίωσον παμμακάριστε, πρεσβεύων ἐκτενῶς ὑπὲρ ἡμῶν πρὸς Κύριον.

**Καὶ νῦν.** Ὁ αὐτός.

Ὑπόδεξαι Βηθλεὲμ τὴν τοῦ Θεοῦ μητρόπολιν, φῶς γὰρ τὸ ἄδυτον ἐπὶ σὲ γεννῆσαι ἥκει, ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ, ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς, μάγοι ἐκ Περσίδος τὸ τρισόκλεον δῶρον προσκομίσατε, ποιμένες ἀγραυλοῦντες τὸν τρισάγιον ὕμνον μελωδήσατε, πᾶσα πνοὴ αἰνεσάτω τὸν παντουργέτην.

Τροπάριον ἀπολυτίκιον. Ἦχος α'.

Ὑπομονῆς γέγονας οἰκητήριον, καὶ βοσκημάτων ἁπάντων ἀσθενείαις κατεχομένων ἀλεξιτήριον, ἀλλά πρέσβευε Χριστῷ τῷ Θεῷ Ἱερομάρτυς πατὴρ ἡμῶν Μόδεστε, τῶν ἐκτελούντων τὴν μνήμην σου, καὶ δεομένων δούλων σου, σωτηρίαν δωρηθῆναι, καὶ ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν.

Ἕτερον. **Δόξα.** Ἦχος δ'.

Ὡς Ἱερομάρτυρα ἔνδοξον καὶ τοῦ θεαδέλφου διάδοχον, συνελθόντες ἐν πίστει τιμῶμέν σε Μόδεστε, συγγνώμην παρὰ Κυρίου δωρούμενον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**Καὶ νῦν.** Θεοτοκίον.

**Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον.**


Ο ΑΓΙΟΣ
ΜΟΔΕΣΤΟΣ
ΙΕΡΟΣΟΛΥΜΩΝ

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν στιχολογίαν καθίσματα.

**Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως.**

Σοῦ τὸν σωτῆρα ὁλικῶς ἀγαπήσας, τὸν ἐν τῷ ξύλῳ διὰ σὲ τανυθέντα, τοὺς τυρανοῦντας ἤνεγκας στεῤῥὲ καρτερῶς, πλάνην τὴν καχέσπερον, νουνεχῶς ἀποκλίνας· ὅθεν θεῖε Μόδεστε καὶ αὐτὸς σὲ δοξάζει, ἐν οὐρανοῖς ἀξίως καὶ ἐν γῇ, διὸ καὶ σκέπε τοὺς σὲ ἑορτάζοντας.

**Δόξα.** Ἦχος α΄. Χορὸς ἀγγελικός.

Θαυμάσιος φωστήρ, εὐσεβῶς ἀναλάμψας, μαρτύρων διαυγὴς Ἱεράρχα παμμάκαρ, φωτίζεις νῦν ἅπαντα, τῶν θαυμάτων λαμπρότησιν, ὅθεν σήμερον, οἱ εὐσεβείᾳ καὶ πόθῳ σὲ γεραίροντες, παντοίων νόσων καὶ κινδύνων, ζητοῦμεν τὴν λύτρωσιν.

**Καὶ νῦν.** Θεοτοκίον.

Ἐγγίζει ὁ κριτὴς ἐπὶ θύρας τὸ τέλος, γρηγόρησον ψυχή, καὶ ἐκ βάθους καρδίας, στενάξασα βόησον, τῇ μητρὶ τοῦ Θεοῦ ἡμῶν ἐλευθέρωσον τῶν φοβερῶν με βασάνων, καὶ ἐν τόπῳ μὲ, τῆς

ἀναπαύσεως τάξον, πανάμωμε Δέσποινα.

Εἰς τὴν β′ στιχολογίαν καθίσματα.
Ἦχος α′. **Τὸν τάφον σου Σωτήρ.**

Ἐκπλήττει πάντα νοῦν, τῶν μαρτύρων τὸ θαῦμα, πῶς ἴσχυσεν ἡ σάρξ, ἐνεγκεῖν φρικτὰ πάθη, ἐν πᾶσι δὲ διέπρεψας, σὺ στεῤῥέ, ὥς τις ἄσαρκος, ὄντως Μόδεστε, ἰσχὺν λαβὼν ἀπὸ ὕψους κατευμεγεθεῖν τῶν δριμυτάτων βασάνων, διὸ σὲ δοξάζομεν.

**Δόξα.** Ἦχος πλ. α′. **Τὸν συνάναρχον Λόγον.**

Τὴν πανήγυριν πάντες Ἱερομάρτυρος, τοῦ ἐκδιδάξαντος ζήλῳ τὴν σωτηρίαν ἡμῶν, εὐφημήσωμεν φαιδρῶς ἀγαλλιώμενοι, ὅτι ὡδήγησε πολλούς, προσελθεῖν εἰς τὸν Χριστόν, καὶ θάνατον ὑπομεῖναι καὶ κερδῖσαι τὴν βασιλείαν, ἐν τῇ ἐνδόξῳ παρουσίᾳ αὐτοῦ.

**Καὶ νῦν.** Θεοτοκίον.

Ἀρχαγγέλων ἀγγέλων τὴν ὑπερέχουσαν, τὴν Θεοτόκον Μαρίαν τὴν σωτηρίαν ἡμῶν, ὡς γεννήσασαν Χριστὸν ὑμνολογήσωμεν, ὅτι ἐῤῥύσατο ἡμᾶς ἐκ τῶν τοῦ ᾅδου δεσμῶν, ὡς δαίμονας καταισχῦναι, καὶ συνεῖναι μετὰ ἀγγέλων, ἐν τῇ ἀῤῥήτῳ βασιλείᾳ αὐτοῦ.

Μετὰ τὸν πολυέλεον καθίσματα.
Ἦχος πλ. δ′. **Τὴν σοφίαν καὶ λόγον.**

Ὡς ἀκτίνας ἐκπέμπεις πάτερ ἡμῖν, τῶν θαυμάτων τὴν ἔλλαμψιν τηλαυγῶς, ἡ χάρις γὰρ τοῦ πνεύματος ἀποστόλοις, ὡς γέγραπται, καὶ σοὶ σαφῶς ἐνῴκησε θεόσοφε Μόδεστε, καὶ τὰ γὰρ θαύματα πάντας εἰσφέρει πρὸς ἔκπληξιν· ὅθεν δυσωποῦμεν, μὴ βραδύνῃς παμμάκαρ, ἡμᾶς πάσης θλίψεως, ὡς ταχέως ἐκρύσασθαι τῇ θερμῇ προστασίᾳ σου, δόξα ὕμνος Χριστῷ τῷ Θεῷ, ὅτι σώζεις ἅπαντας ταῖς σαῖς εὐχαῖς, ἐκ Θεοῦ γὰρ ὑπάρχεις μακάριε.

Τοῦ πυρὸς τοῦ ἀσβέστου τὸν ποταμόν, ἐννοοῦσα ψυχή μου τὸν φοβερόν, φρίξον καὶ συστάληθι τῆς κακίας ἀπόστηθι, καὶ ἐν κλαυθμῷ καὶ πένθει πικρῶς ὀλολύζουσα, ἐν συντριβῇ καρδίας μετὰ ταπεινώσεως, πρόσδραμε πρὸ τέλους, τῇ μητρὶ τοῦ Κυρίου, καὶ ταύτης δεήθητι ἐξ αὐτοῦ σὲ λυτρώσασθαι, Θεοτόκε κραυγάζουσα, πρέσβευε τῷ σῷ υἱῷ καὶ Θεῷ τῶν πταισμάτων ἄφεσιν δοθῆναι μοι, σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλος σου.

**Δόξα. Θείας πίστεως.**

Πᾶσαν εὔφρανας Ἱερωσύνην, καὶ σῷ αἵματι τὴν Ἐκκλησίαν, ἐν Ἱερουσαλὴμ γὰρ τὸ χρίσμα σοὶ δέδοται, καὶ τὸ σὸν αἷμα ἐν ταύτῃ ἐξέχεας, τὴν τῶν Μαρτύρων ὥπλησας παράταξιν, Παῦλου μέτοχε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Καὶ νῦν.** Θεοτοκίον.

Θείας φύσεως οὐκ ἐχωρίσθη, σάρξ γενόμενος ἐν τῇ γαστρί σου, ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν, ὁ μετὰ τόκον μητέρα παρθένον σέ, ὡς πρὸ τοῦ τόκου φυλάξας πανάμωμε, μόνος Κύριος· αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Οἱ ἀναβαθμοὶ. Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.

**Προκείμενον, ἦχος δ΄.**

**Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται.**

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τὸ Πᾶσα πνοή.

**Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.** (Κεφ. ιβ΄.)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ· ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ. καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς

ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἢ τί ἀπολογήσησθε ἢ τί εἴπητε· τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.

Εἶτα ὁ **Ν΄ Ψαλμός.** Ἦχος β΄.

**Δόξα. Ταῖς τοῦ Ἱεράρχου...**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...**

**Εἶτα· Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.**

Καὶ τὸ Ἰδιόμελον. Ἦχος πλ. β΄.

Σήμερον ἐξέλαμψε πιστοὶ ἡ φωτοειδὴς μνήμη τοῦ Ἱερομάρτυρος Μοδέστου, συγκαλοῦσα ἡμᾶς πρὸς εὐωχίαν μυστικήν. Δεῦτε οὖν ἐγκωμίοις καταστέψωμεν αὐτὸν λέγοντες. Χαίροις ὁ τῶν Ἱεροσολύμων ποιμήν, μάρτυς καὶ φωστήρ. Χαίροις ὁ τὸ ὅπλον τοῦ σταυροῦ ἀνδρείως ἀναλαβών, καὶ τὸν νοητὸν Γολιὰθ δαυϊτικῶς καταγωνισάμενος, καὶ ἀριστεύσας γενναίως, καὶ τὸν τῆς νίκης στέφανον παρὰ τοῦ ἀγωνοθέτου κομισάμενος Χριστοῦ, ὃν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καταβασίαι. Ὠδὴ α΄. Ἦχος α΄.

Χριστὸς γεννᾶται δοξάσατε· Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε· Χριστὸς ἐπὶ γῆς, ὑψώθητε· ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί, ὅτι δεδόξασται.

Ὠδὴ γ΄.

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι, ἀρρεύστως υἱῷ καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Ὠδὴ δ΄.

Ράβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς, Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετός, κατασκίου δασέος, ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός.

Δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε΄.

Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης Βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον ἀπέστειλας ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν σε φιλάνθρωπε.

Ὠδὴ στ΄.

Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο· τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον· ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Ὠδὴ ζ΄.

Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ' ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον, οὐ γὰρ οὓς ἐδέξατο φλέγει νέους, ὡς οὐδὲ πῦρ τῆς Θεότητος, Παρθένου ἣν ὑπέδυ νηδύν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

**Μεγάλυνον ψυχήν μου τὴν τιμιωτέραν καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.**

Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον· οὐρανὸν τὸ σπήλαιον, θρόνον χερουβικὸν τὴν Παρθένον· τὴν φάτνην χωρίον, ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

### Ὠδὴ α΄. Κύματι θαλάσσης.

Στόματι πηλίνῳ καὶ γλώσσῃ γεώδει, σὲ τὸν ἰσάγγελον, ὑμῖν ὁμότιμος Μόδεστε, φῶς οὐρανόθεν δυσωπῶ σε, ταῖς πρεσβείαις σου ἐξαστράψας, φώτισον τὸν νοῦν καὶ τὴν καρδίαν μου.

Ὕλην φθειρομένην, καὶ ῥέουσαν δόξαν καὶ κόσμον σύμπαντα, καὶ κοσμοκράτορα παραδραμών, ἀντὶ πάντων τὸν Χριστὸν ἐκτήσω Μόδεστε, οὗ τρωθεὶς τῷ ἔρωτι ἐνήθλησας στεῤῥώτατα.

Μέγας ἐν σημείοις, καὶ τέρασιν ὤφθης πολὺς ἐν θαύμασι, καὶ περιβόητος, ὕδατι μόνῳ ραντίζων, καὶ ἰώμενος τοὺς κάμνοντας βροτούς, σὺν τοῖς κτήνεσιν, ὡς λίαν συμπαθέστατος.

### Θεοτοκίον

Γένος τῶν ἀνθρώπων, βουλόμενος σῶσαι ὁ ὑπεράγαθος, μήτραν ἐσκήνωσεν, ἀπειρογάμου Παρθένου, καὶ ἰδοὺ τεχθῆναι ἔρχεται, τοῦτον προσκυνήσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

### Ὠδὴ γ΄. **Σὲ τὸν ἐπὶ ὑδάτων.**

Μέλλων ἀναβαίνειν, εἰς μέγιστον ὕψος Ἱερωσύνης, νυκτὸς ἐπὶ τὰς θύρας τοῦ ἱεροῦ πάτερ ἔφθασας, καὶ προσευχῇ ἐμμόνως σου ταύτας ἠνέῳξας, θαυμασθεὶς τῷ ἐγχειρήματι.

Ἔχρισέ σε τὸ Πνεῦμα τὸ Ἅγιον, ὁ Θεός σου, παρὰ τοὺς σοὺς μετόχους ἀγαλλιάσεως ἔλαιον, καὶ μῦρον θείου χρίσματος, καὶ ἐξεχύθη σου δαψιλὴς χάρις ἐν χείλεσι.

Ἐχθροὺς τοὺς ἀοράτους, καὶ δράκοντας νοητούς, τῇ δυνάμει τοῦ Χριστοῦ καταπατήσας, καὶ βασιλέα τὸν ἔχθιστον, καὶ σοβαρόν, τῇ χάριτι σταυροῦ κατέβαλες, ἐναθλήσας καρτερώτατα.

Ἵνα χαρίσῃς ὅλην τὴν ἔλλαμψιν τῆς ἁγίας Τριάδος, ἐστίλβωσας τὸν νοῦν σου, οἷα νεόσμηκτον ἔσοπτρον, καὶ τὴν ψυχὴν ἐλάμπρυνας Μόδεστε ἔνδοξε, ἀρετῶν καθαρωτάτῳ φωτί.

### Θεοτοκίον

Ἡ σύλληψις ἄνευ πάθους, πρόσληψις ὑπὲρ λόγον Παρθένε τοῦ τόκου σου προῆλθε· τὸ γὰρ Προφήταις θρυλούμενον ὑπερφυῶς μυστήριον, ἡμῖν ἐπέφανε λόγος τοῦ Θεοῦ ὑπάρχων Θεός.

### Κάθισμα, ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Φαιδρύνας τὸν βίον σου τῶν ἀρετῶν καλλοναῖς, ποιμὴν ἀνηγόρευσαι, καὶ Ἱεράρχης σεπτός, πανένδοξε Μόδεστε, αἵματι μαρτυρίου, σεαυτὸν δὲ φοινίξας, ἄνω πρὸς τὰς ἀΰλους μετετέθης χορείας, μεθ᾽ ὧν ὑπὲρ ἡμῶν τὸν Χριστὸν πάτερ ἱκέτευε.

### Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ταχὺ δέξαι Δέσποινα ταῖς ἱκεσίαις ἡμῶν, καὶ ταύτας προσάγαγε τῷ σῷ υἱῷ καὶ Θεῷ, Κυρία Πανάχραντε, λῦσον τὰς περιστάσεις τῶν εἰς σὲ προστρεχόντων, σκέδασον τὰς ἐνέδρας, καὶ τὰ θράση Παρθένε, τῶν νῦν ἐφοπλιζομένων κατὰ τῶν δούλων σου.

### Ὠδὴ δ΄. Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν.

Ὁ ἐν ὑψίστοις παριστάμενος τῷ Θεῷ νοερῶς καὶ σὺν ἀγγέλοις ᾄδων ὕμνον αὐτῷ τρισάγιον, καὶ ἐν ἱερᾷ πρεσβυτέρων καθέδρᾳ ᾔνεσας τοῦτον ἐν γῇ.

Ῥάβδῳ πυρίνῃ τῶν δογμάτων σου, εἰδώλων ἔτεμες τὴν πλάνην, Ἱεράρχα, κυμαινομένην θάλασσαν, ὥσπερ Μωϋσῆς ἐρυθρὰν ὁ θεόπτης ἔνδοξε Μόδεστε.

Ἐξηγητὴν Ἱεροκήρυκα, ἑρμηνέα σοφὸν τῶν γραφῶν καθιστᾷ σε τὸ Πνεῦμα τὸ πανάγιον, ταύτας τῷ λαῷ ἐν συνέσει καὶ χάριτι ἀναπτύοντα.

### Θεοτοκίον.

Μεγαλοφώνως προκηρύττεται προσδοκία ἐθνῶν, καὶ σωτηρία κόσμου, ὁ ὑπὲρ φύσιν τόκος Ἄχραντε ἁγνή, ὅν ὑμνῶν κόσμος ἅπας, προεορτάζει φαιδρῶς.

### Ὠδὴ ε΄. **Θεοφανείας σου Χριστέ.**

Ὁ πρὸ γενέσεως εἰδώς, τὸ καθαρὸν καὶ ἅγιον τῆς ψυχῆς σου, καὶ πρὸ τοῦ πλασθῆναι ἐν τῇ μήτρᾳ σε ἁγιάσας ἅγιε Μόδεστε, ὡς προφήτην ἄλλον σοφῶς, Ἱερεμίαν σὲ ἄγρυπνον ποιμένα καὶ φύλακα τῆς Σιὼν ὄντως προβάλλεται.

Τὸ προαιώνιόν σε φῶς, ἐφ' ὑψηλὴν τῆς Ἀρχιερωσύνης, Μόδεστε λυχνίαν ἀνεβίβασε, μέγα φῶς τοῦ κόσμου τυγχάνοντα, ὅπως ἴδωσι διὰ σοῦ φῶς ἐπιγνώσεως· οἱ ἀπεγνωσμένοι, καὶ φέγγος ἐπιστροφῆς ἐκ τῶν εἰδώλων σοφέ.

Νόμοις Χριστοῦ ἀκολουθῶν, τὸ ἀσθενοῦν συμπαθῶς ἐπισκέψω, καὶ πεπλανημένον ἐπανήγαγες, τὸ νοσοῦν μάκαρ Μόδεστε, καὶ τὸ καταρραγὲν αὖθις ἀνήγειρας, καὶ ἐπανορθώσω ὡς γνήσιος καὶ καλὸς, οὐ μισθωτὸς, ὢν ποιμήν.

**Θεοτοκίον.**

Ἐν Θείῳ Πνεύματι προδηλῶν, τὴν ἐξ ἡμῶν ἀπαθῶς σου πρόσληψιν, Ἡσαΐας ἀνεβόα Κύριε γρηγορῶν τῷ νόμῳ τῆς χάριτος, τὸν ἐκ γένους Ἀβραάμ, ἐκ τῆς Ἰούδα δὲ φυλῆς κατὰ σάρκα Παρθένος ἄνευ σπορᾶς ἔρχεται τίκτουσα.

### Ὠδὴ στ΄. **Τοῦ βίου τὴν θάλασσαν.**

Ῥοαῖς τῶν αἱμάτων σου, κατακλύσας θολεράς, τὰς ἀσεβείας ὕδατα, ὡς ποταμὸς ὡράθη, τὰ εὐσεβῆ, ἀρδεύων συστήματα τῶν πιστῶν Ἱεράρχα μάρτυς Μόδεστε.

Ἰσχύει τοῦ Πνεύματος τὴν ψυχὴν περιφραχθείς, τῆς πονηρίας πνεύματα ὑπομονῇ κατέβαλες αἰκισμῶν, καὶ νίκης διάδημα ἐκ Θεοῦ ἐκομίσω Ἱερόαθλε.

Ὁ βίος σου τίμιος, ἡ ζωή, θεοτερπής, καὶ Ἱερὸς ὁ θάνατος, δεδοξασμένος ἔναντι τοῦ Θεοῦ, τρισόλβιε Μόδεστε, ἱερέων ἀκρότης καὶ τὸ καύχημα.

### Θεοτοκίον.

Η ρίζα ἐβλάστησεν, Ἰεσσαὶ καὶ ἐξ αὐτῆς, ὁ προελὼν Θεὸς ἡμῶν, ἐλπὶς ἐθνῶν ἀνάπαυσις καὶ τιμή, ὡς πάλαι προέφησεν Ἡσαΐας, ἐνθέως φωτιζόμενος.

### Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ιακώβου μάκαρε, τοῦ ἀδελφοῦ τοῦ Κυρίου, ἀρετῶν διάδοχον ὡς καὶ τοῦ θρόνου καὶ τέλους, στέφομεν τὴν θείαν κάραν σου ὡς εἰδότες κράζοντες· μὴ ὑπερίδῃς τοὺς σοὺς οἰκέτας, τοὺς τὴν μνήμην σου τελοῦντας Ἱερέων καὶ Μαρτύρων Μόδεστε τὸ καύχημα.

### Ὁ οἶκος.

Τῶν ἱερέων τὸ ἔκλαμπρον κλέος, καὶ τῶν μαρτύρων τὴν πάντερπνον δόξαν, δεῦτε πάντες ἐν ὕμνοις τῶν ᾀσμάτων πιστοί, Μόδεστον εὐφημήσωμεν· τὸν γὰρ ἐχθρὸν ἐκνικήσας Βελίαρ ἐν ἄθλοις σεπτοῖς, ὀμβρίζει ἡμῖν ἀντὶ αἱμάτων ἱερῶν ἰαμάτων ἀκένωτα ρεύματα, τοῖς τελοῦσι τὴν μνήμην αὐτοῦ τὴν ὑπέρλαμπρον, καὶ βοῶσι πρὸς αὐτὸν μετὰ δεούσης προθυμίας καὶ πίστεως· χαίροις τῶν Ἱερέων καὶ Μαρτύρων Μόδεστε καύχημα.

**Τῇ 18ῃ Δεκεμβρίου, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μοδέστου, Ἀρχιεπισκόπου Ἱεροσολύμων τοῦ θαυματουργοῦ.**

Στίχ. Φέρε, Μόδεστε, παμμάκαρ καὶ σοῦ τάφον.
Ἡ τὸν τάφον φέρουσα γῆ τοῦ Κυρίου.

**Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τοῦ Ἁγίου μάρτυρος Σεβαστιανοῦ καὶ τῶν σὺν αὐτῷ Ζωῆς, Τραγκλίνου, Νικιστράτου.**

**Κλαυδίου, Κάστορος, Τιβουρτίου, Καστούλου, Μαρκελίνου καὶ Μάρκου.**

**Τῇ αὐτῇ ἡμέρα Μνήμη τοῦ Ἁγίου Μάρτυρος Εὐβιότου. καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Φλώρου Ἐπισκόπου Ἀμισσοῦ.**

**Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τῶν Ἁγίων μαρτύρων Φωκᾶ καὶ Ἑρμίλου διὰ ξίφους τελειωθέντων**
**καὶ τῶν Ἁγίων μαρτύρων Ζακχαίου Διακόνου καὶ Ἀλφειοῦ Ἀναγνώστου, ἀθλησάντων ἐν Καισαρείᾳ.**

Τῇ αὐτῇ ἡμέρᾳ τῆς Ἁγίας καὶ θαυματουργοῦ Σοφίας, καὶ τὰ ἐγκαίνια τοῦ σεβασμίου οἴκου τῆς Ὑπεραγίας Θεοτόκου ἐν τοῖς Χαλκοπατρείοις.

καὶ Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μιχαὴλ Συγκέλλου τοῦ Ὁμολογητοῦ.

Ταῖς τῆς Θεοτόκου καὶ τῶν Ἁγίων Μαρτύρων καὶ Πάντων τῶν Ἁγίων ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς· Ἀμήν.

### Ὠδὴ ζ΄. Ἄφραστον θαῦμα.

Συχναῖς νιφάσι, καὶ ἐπομβρίαις τῶν λόγων σου, ἀρδευομένη οἷα λιπαρά, καὶ εὔγεως γῆ δέδεικται πολύφορος ἡ Ἐκκλησία Χριστοῦ καρποφοροῦσα, ἀρετῶν καρποφόρων παγκαρπίαν.

Οὐκέτι στέγην, τὴν ἄμετρον παρρησίαν σου καὶ τὸν ζῆλον ὅν ἔσχες σοφέ, οἷα μιμητὴς τοῦ φιλανθρώπου Θεοῦ, τῶν δαιμόνων θήραμα ὁ κακεργάτης καταγράφει τὴν ψῆφον σοῦ θανάτου.

Ἅρπαγες λύκοι, καθάπερ μάρτυς οἱ δήμιοι, ὡς ἀρνίον ἁρπάσαντες, σπουδῇ εἰς τὸν τῆς καταδίκης τόπον ἔσυρον, καὶ τοῖς λίθοις λιθάζοντες ἀσπλάγχνως, τὸν καλόν σε κατέσφαξαν ποιμένα.

### Θεοτοκίον.

Τὸ ξένον θαῦμα, τὸ ἐν προφήταις θρυλούμενον, καὶ δικαίοις πάλαι ἐμφανῶς Παρθένος ἁγνὴ τεξαμένη πάρεστιν, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων, λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

### Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Ἀδιάσειστος πύργος, στύλος ἀκλόνητος ἀπερίτρεπτον τεῖχος, βάσις τῆς πίστεως, λύρα μελουργός, εὐσεβείας ὑπέρμαχος, πλάνης καθαιρέτης, Μόδεστε ἀνεδείχθης.

Ὥσπερ ἥλιος πάτερ σαφῶς ἀνέτειλες, τὴν Σιὼν καταυγάζων φωτὶ τῶν ἔργων σου, ὅθεν υἱὸν τῆς ἡμέρας ἐπέγνωμεν, καὶ Σιὼν τῆς ἄνω Μόδεστε κληρονόμον.

Κυβερνήσει τῆς θείας χάριτος πάνσοφε, τῶν βασάνων παρῆλθες τὸ μέγα πέλαγος, καὶ τοὺς γαληνιαίους ἔφθασας ἀγαλλόμενος ἔνδοξε λιμένας τῆς ἄνω βασιλείας.

Θεοτοκίον.

Προφητῶν θεηγόρων ρήσεις πεπλήρωνται, ἡ Παρθένος ἐγγίζει τεκεῖν τὸν Κύριον, ἅπασα ἡ γῆ εὐφραινέσθω χορεύουσα καὶ ἀγαλλιάσθω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. **Μὴ ἐποδύρου μου μῆτερ.**

Πατριαρχῶν ὁμήγυρις, προφητῶν ἡ πανήγυρις, Ἱεραρχῶν καὶ Ἀποστόλων δῆμοι καὶ χοροί, Ἀθλητῶν ἀγέλαι, Μαρτύρων φάλαγγες, Ἀσκητῶν καὶ Ὁσίων συστήματα, τὴν σὴν ἀνιοῦσαν προέπεμπον Ἱερομάρτυς ψυχήν.

Ὡραϊσμένη ὡς νύμφη, καὶ περιβεβλημένη, πεποικιλμένη ἀρετῶν, χρυσοῖς ἐν κροσσωτοῖς, ὡς φαιδρὰν παστάδα τὸ θεῖον σκῆνός σου, ἡ ψυχὴ λιποῦσα πρὸς τὰς φωτοειδεῖς οὐρανίους παστάδας ἀνῆλθε Μόδεστε.

Ἡ τυραννὶς τοῦ θανάτου, ἐξησθένησεν ὄντως ζῶσι καὶ γὰρ ἐν τῷ Θεῷ δικαίων αἱ ψυχαί, τοῦ δὲ λόγου πίστις σὺ εἶ Μόδεστε, καὶ νεκρὸς γὰρ θαυμάτων προχέεις ποταμοὺς τοῖς ἐν πίστει τῷ θείῳ φοιτῶσιν οἴκῳ σου.

Θεοτοκίον.

Συγχαίρει πᾶσα ἡ κτίσις, τῷ σῷ τόκῳ Παρθένε, τὴν γὰρ Ἐδὲμ ἡ Βηθλεέμ ἠνέῳξεν ἡμῖν, καὶ ἰδοὺ τοῦ ξύλου τῆς ζωῆς ἅπαντες ἀπολαύοντες, βοῶμεν ἐκτενῶς, τὰς ἡμῶν ἱκεσίας Δέσποινα πλήρωσον.

Ἐξαποστειλάριον. **Φῶς ἀναλλοίωτον.**

Ἐν Ἱεράρχαις αὐγάζεις, ὡς ἥλιος ἐν ἡμέρα, καὶ ἐν τοῖς μάρτυσι λάμπεις, ὥσπερ ἐν ἄστροις σελήνη, διὸ τὴν σὴν εὐφημοῦμεν, κοίμησιν Μόδεστε πάτερ, Σιὼν ἁγίας τὸ κλέος.

**Θεοτοκίον· ὅμοιον.**

Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην;

# ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

**ἱστῶμεν στίχ. δ΄**

**Ἦχος α΄. Πανεύφημοι μάρτυρες ὑμᾶς.**

Ἰάσεων νάματα ὁ σός ναὸς τοῖς προστρέχουσιν, ἀναπηγάζει ἑκάστοτε, Μόδεστε ἔνδοξε, καὶ ἐκ πλάνης πάθη καὶ βυθίζει φάλαγγας· δαιμόνων συνεργείᾳ τοῦ πνεύματος, Χριστόν, ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Μόδεστε πανεύφημε πιστούς, ἡ σὴ μνήμη σήμερον, προσεκαλέσατο ἅπαντας, πανηγυρίσαι σου, ἀρετὰς τὰς θείας, μαρτυρίου σκάμματα, θαυμάτων τὴν πληθύν, ἥν ἀπήργασας Θεοῦ τῇ χάριτι, ἱερόαθλε τρισόλβιε, ὅν δυσώπει ὑπὲρ τῶν ὑμνούντων σε.

Ἀπαύγασμα ὤφθης ἀληθῶς, Ἱεράρχα Μόδεστε, τοῖς Ἱεράρχαις καὶ μάρτυσι, καὶ γὰρ ἀήττητος, ἐν ἀγῶσιν ὤφθης, ἀρραγὴς, ἀκλόνητος, ὑπέρμαχος, θεόφρων καὶ πρόβολος, πάντων ἐνώπιον, δογματίζων ἀκριβέστατα, τῆς Τριάδος τὸ μέγα μυστήριον.

Ἑβραίων ὠμότητι τὴν σὴν, ἀνδρείαν ἀντέθηκας, Ἱερομάρτυς πολύαθλε, καὶ θεία χάριτι, τούτους ἐκνικήσας πρὸς Χριστὸν ἀνέδραμες, ἀθλήσας δι' αὐτὸν καρτερώτατα, ὅν νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρἤνην καὶ τὸ μέγα ἔλεος.

**Δόξα, Ἦχος πλ. δ΄.**

Τίς λαλἤσει τὰς ἀριστείας σου σοφέ; ἤ τὶς ἐξαριθμἤσει τῶν ἀγώνων σου τὰ πλήθη; πολλὰ γὰρ καὶ ὑπὲρ φύσιν ὥσπερ ἄσαρκος ὑπήνεγκας, πλείονα δὲ τὰ βραβεῖα ἀσυγκρίτως ἐκο-

μίσω ἐκ τῆς παντοκρατορικῆς τοῦ Σωτῆρος Χριστοῦ δεξιᾶς, Ἱερομάρτυς πανσεβάσμιε Μόδεστε, οὐ μόνον γὰρ τῶν ζωηρρύτων παθημάτων αὐτοῦ κοινωνὸς ἠξιώθης γενέσθαι, ἀλλὰ καὶ τῆς ἀφθάρτου δόξης, ὡς ἱερεὺς καὶ μάρτυς ἀξιοθαύμαστος.

**Καὶ νῦν. Θεοτοκίον.**

Ὑπόδεξαι Βηθλεὲμ τοῦ Θεοῦ Μητρόπολιν· φῶς γὰρ ἄδυτον ἐπὶ σὲ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ· ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς. Μάγοι ἐκ Περσίδος, τὸ τρισσόκλεον δῶρον προσκομίσατε. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Παντουργέτην.

**Ὁ Ἀπόστολος, προκείμενον ἦχος β΄.**

**Στίχ. Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου**

**Στίχ. Πρὸς σὲ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.**

**Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.**
**(δ΄ 14 - ε΄ 6)**

Ἀδελφοὶ, ἔχοντες οὖν ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας. Προσερχώμεθα οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν. Πᾶς γὰρ ἀρχιερεύς, ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν· καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ Ἀαρών. οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· καθὼς καὶ ἐν ἑτέρῳ λέγει· σὺ ἱερεὺς εἰς

τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

**Ἀλληλούϊα. Ἦχος πλ. β′.**

**Στίχ. Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς.**
**Στίχ. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν, πρὸ αἰώνων εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.**

**Εὐαγγέλιον Ἐκ τοῦ κατὰ Ἰωάννην**
**Ἁγίου Εὐαγγελίου τό Ἀνάγνωσμα**
**(Ἰωάν. ι′ 1-9).**

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμὴν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ· ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ'αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἅ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν ἀμὴν λέγω ὑμῖν. ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρό ἐμοῦ, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει.

**Μεγαλυνάριον.**

Χαίροις ἱερώτατε Μόδεστε, χαίροις Ἱερέων καὶ Μαρτύρων τὸ καύχημα, ὅτι τοῦ τυράννου καθεῖλες τὰ λυρώδη, καὶ ἰατρὸς τῶν ζώων, ἐδείχθης ἕτοιμος.

**Κοινωνικόν.**
**Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.**